ſimulat.

Σχόλια. Ἄγετον.] ξυνέλκετον. ὁ χορὸς πρὸς τὸν Ἑρμῆν καὶ τὸν Τρυγαῖον. Ἕλκω κἀξαρτῶμαι.] ἔμφασιν πολλὴν ἔχουσιν οἱ λόγοι αὐτοῦ. ἐμφαίνοντες τὴν σπουδὴν τὴν περὶ τὸ ἕλκειν. ὅπου γε καὶ ξυνηρτῆσθαι φησὶ τῷ ἔργῳ. τουτέστιν ἐμπεπάρθαι. Πῶς οὖν οὐ χωρεῖ] ὁ Ἑρμῆς τοῦτό φησιν ἀπελέγχων αὐτοὺς, ὅτι λέγουσιν ἕλκειν, καὶ οὐχ ἕλκουσιν. Ὦ Λάμαχ' ἀδικεῖς] διπλῆ καὶ στίχοι τρίμετροι ἰαμβικοὶ ιγ. ἐπὶ τῷ τέλει παράγραφος.

Chris. Ὦ Λάμαχε] Et hic vt diximus dux fuit cum Nicia & Alcibiade in Sicilienſi bello, vbi fortiter ſe geſſit, occiſúſque eſt in prælio.

Σχόλια. Τῆς σῆς μορμόνος.] παρὰ τὴν Μορμὼ καὶ τὴν Γοργόνα, ἣν εἶχεν ὁ Λάμαχος ἐπίσημον. οὕτως δὲ ἔλεγον τὸ ἐκφοβητικόν. καὶ τὰ προσωπεῖα τὰ αἰσχρὰ μορμολύκεια. ἀφ' οὗ τραγικά. καὶ κωμικά. καὶ ἐν Ἀμφιαράῳ. ἀφ' οὗ κωμῳδικὸν μορμολύκειον ἔγνων. Οὐδὲν Ἀργεῖοι.] ὡς τῶν Ἀργείων ἐπαμφοτεριζόντων ὁπότε δοκοίη αὐτοῖς. διὸ καὶ Φιλόχορός φησι πολεμοῦντας πάλιν πρὸς Κορινθίους προσλαμβάνεσθαι καὶ τοὺς Ἀργείους. Ἀλλ' ἡ κατεγέλων.] ἐπεὶ Ἀργεῖοι κατεγέλων Λακεδαιμονίων καὶ Ἀθηναίων ἀλλήλοις μαχομένων, ἐπείπερ παρ' ἀμφοτέρων λαμβάνοντες χρήματα ἐπολέμουν. ἐνετρύφων οὖν τοῖς ἐκ τοῦ πολέμου διαφθειρομένοις. αἰνίττεται οὖν εἰς τοὺς Ἀργείους, ἐν τούτῳ τῷ πολέμῳ ἐπαμφοτερίζοντας. διὸ καὶ πολλὰ ἐκωμῳδοῦντο. Διχόθεν] ὡς τῶν Ἀργείων ἐπαμφοτεριζόντων, καὶ ἀποκλινόντων ὁπότε δοκοίη αὐτοῖς, πρὸς Λακεδαιμονίους. ἐμφαίνει οὖν, καὶ ταῦτα διχόθεν μισθοφοροῦντες. ἥρμοττε γὰρ οὕτω μᾶλλον εἰπεῖν, ὅτι οὐ προθυμοῦνται πρὸς τὴν εἰρήνην καὶ ταῦτα μάλιστα πάντων τρυφόμενοι ἐν τῷ πολέμῳ. μή τι οὖν ἐν ἴσῳ τούτων εἴρηκε, διὰ τὸ διχόθεν μισθοφορεῖν. περὶ δὲ Ἀργείων καὶ Φερεκράτης ἐν Αὐτομόλοις. οὗτοι γὰρ ἡμῖν οἱ κακῶς ἀπολούμενοι, ἐπαμφοτερίζουσιν ἐμποδὼν καθήμενοι.

Christ. Ἐμποδὼν καθήμενος] Ex Pherecrate ſumpſit, qui in Transfugis dixit de Argiuis iſtis quos hic notat, ἐπαμφοτερίζουσιν ἐμποδὼν καθήμενοι. Sic enim verſum illum in Scholiaſta emendo. Et lego ἐπαμφοτερίζουσ'. Μορμόνος] Habuit pro inſigni Lamachus Gorgonem, quam & Mormonem vocat, qua voce terriculamenta infantium deſignantur: & μορμολύκεια vocabantur Tragicæ vel Comicæ deformes perſonæ, vel teſte ipſo Ariſtophane qui in Amphiarao dixit, ἀφ' οὗ κωμῳδικὸν μορμολύκειον ἔγνων. Sic apud Theocritum mater quædam terrorem incutere conatur filiolo, cùm ait μορμὼ δάκνει ἵππος. Et ſi benè memini Callimachus dixit μορμύσσεσθαι pro ἐκφοβεῖν. Latini Manias & Manducos vocabant, vt paret ex Feſto. Sanè Varro, Cuninam & Ruminam Lactentium deas inter Manias recenſet. Ἀργεῖοι πάλαι] Argiui quos à Laconibus Thyrea tantum diſterminat cæterorum Græcorum rebus opimis tanquam inuidi macreſcebant, & aduerſis creſcebant. Itaque nunc Athenienſium fœderati erant, nunc Lacedæmoniorum, qui Argiuã fidem ſemper ſuſpectam habebant. Et meritò, nam Corinthiis auctoribus poſt ictum fœdus commune Athenienſium & Lacedæmoniorum, rebus nouis ſtuduerant, & verò Poloponneſi imperium adfectauerunt. Itaque non mirum, ſi ad Pacis cõciliationem ſegnes olim fuerint. Illud πάλαι videtur arguere procliues poſtea fuiſſe ad Pacis ſtudia amplectenda.

Σχόλια. Ἀρ' οἶσθ' ὅτι γ' αὐτῶν.] καὶ Θουκυδίδης ἱστορεῖ λέγων μάλιστα τῆς εἰρήνης ἀντιποιεῖσθαι Λακεδαιμο-

A νίους, διὰ τοὺς ληφθέντας αὐτῶν ἐν Σφακτηρίᾳ, λέγει γὰρ οὕτως. τοὺς γὰρ δὴ ἄνδρας περὶ πλείονος ἐποιοῦντο κομίσασθαι, ἕως ὅτε Βρασίδας εὐτύχει. καὶ ἐν ἄλλοις. ταῦτα οὖν ἀμφοτέροις αὐτοῖς λογιζομένοις, ἐδόκει ποιητέα εἶναι ἡ ξύμβασις. καὶ οὐχ ἧττον τοῖς Λακεδαιμονίοις ἐπιθυμία τῶν ἀνδρῶν τῶν ἐκ τῆς νήσου κομίσασθαι. ἦσαν γὰρ οἱ Σπαρτιᾶται αὐτῶν πρῶτοί τε καὶ ὁμοίως σφίσι συγγενεῖς. ἤρξαντο μὲν οὖν καὶ εὐθὺς μετὰ τὴν ἅλωσιν αὐτῶν πράσσειν. ἀλλ' οἱ Ἀθηναῖοι οὔπως ἤθελον εὖ φερόμενοι ἐπὶ τῇ ἴσῃ καταλύεσθαι. μάλιστα δὲ οἱ τῶν δεδεμένων συγγενεῖς,

B ἐνῆγον καὶ ἐσπούδαζον, ὡς ἂν εἰρήνη γένηται. ἄλλως. οὐ μόνον διὰ τὸ κεκμηκέναι τῷ πολέμῳ, ἀλλὰ καὶ διὰ τοὺς ἐν Σφακτηρίᾳ δεδεμένους. Ἀλλ' ὁ χαλκεὺς οὐκ ἐᾷ.] ὅτι ἐδέδεντο καὶ περιέκειντο αὐτοῖς πέδαι. Οὐδ' οἱ Μεγαρῆς] ὡς καὶ τούτων βαρέως φορούντων, ὅτι ἔκσπονδοι ἐγένοντο. βουλομένων δὲ τὴν εἰρήνην. διὰ τὸ μάλιστα πεπονῆσθαι τῷ λιμῷ καὶ τῷ πολέμῳ. τοῦτο δὲ οἱ καλῶς ἐξηγούμενοι τοῦ Τρυγαίου φασίν. Γλισχρότατα.] ὅτι γλίσχρος ἐπὶ δυστυχίᾳ ἐλέγετο. σαρκάζοντες δὲ ἤτοι ἐξισχνούμενοι καὶ ἠτονηκότες. καὶ διὰ τὸν λιμὸν ἕλκοντες μόλις. ἢ οὕτως ἕλκον-

C τες κατὰ κυνιδίων τρόπον, οἳ τὰ ὀστέα τρώγοντες καὶ οὐκ ἔχοντες ἐμφορηθῆναι ὑπὲρ αὐτῶν τῷ δοκεῖν ἐσθίουσι. φανερὸν δέ ἐστιν ὅτι ἐπίτηδες χαριζόμενος πάλιν τοῖς Ἀθηναίοις, διέσυρεν οὕτως τοὺς Μεγαρεῖς. πρῶτον μὲν αὐτοὺς κυσὶ παραβαλὼν, ἔπειτα τῷ ὑποκοριστικῷ καὶ τῇ σμικρότητι τῶν κυνιδίων εἰς πλείονα κατάγων ταπεινότητα. πάνυ γὰρ καὶ διαπρυσίως ἐμισοῦντο ὑπὸ τῶν Ἀθηναίων, δι' ὃν εἰρήκαμεν τρόπον. καλῶς δ' ἂν ἔχοι τοῦτο τηρῆσαι πρὸς τὸ ἱππωνάκτειον οὕτως ἔχον. σαρκοκύων λιμόν. οὐ γάρ ἐστι τῶν σαρκῶν, ὥσπερ ἀξιοῦσι τῶν ἐξηγησαμένων τι-

D νές. παντάπασι γὰρ ἂν εἴη αὐτὸ ὑπεναντίον αὐτῷ. ἔργον γὰρ τοῦ λιμοῦ, οὐ σάρκας ἐμποιεῖν, ἀλλὰ τοὐναντίον τὰ σώματα ἐπισχναίνειν, καὶ τῶν σαρκῶν παραιρεῖσθαι τὸν ὄγκον.

Christ. Ἀλλ' οἱ Λάκωνες] Lacedæmonij (vt ait Princeps hiſtoricus Olorinus) animum ad Pacis amorem verterunt non ſponte ſua, neque quod erant bello feſſi, ſed propter ſuos qui captiui erant, ad Sphacteriam. Miror ergo quòd tantopere Ariſtophanes hoſtes laudat, vt ἀνδρικῶς Paci

E attrahendæ ſtudere dicat. Sanè ſuſpicor legẽdum ἀλλ' οὐ, non autẽ οἱ. nam ſequentia arguunt, & cùm ait ſolos vinctos id ſedulò adfectare, & cùm ait, οὐδ' οἱ Μεγαρεῖς. Ἔχονται τοῦ ξύλου] In carcere lignũ erat vel cippus quo pedes captiuorum tenebantur, dicebatúrque ξύλον, vel ξυλοπέδη, vel ποδοκάκκη (puto quaſi ποδοκατοχὴ) vel etiam ποδοστράβη. Attici ſimpliciter Neruum vocabant κᾶλον, id eſt lignũ, inde ἐγκαλοσκελεῖς, qui ex lege nexi erant. Heſychius ait ſic vocari eos, qui quòd debitum

F non ſoluerent, ἐν κάλοις ἐδεσμεύοντο τοὺς πόδας, pedes in neruo habebant. Cæterùm cùm ait χαλκεὺς puto Cleonem αἰνίττεσθαι, qui trecentos illos Lacedæmonios captiuos in Pylo & Sphacteria liberauit, nam eò ſpectat quod de eodem Cleone dicitur in Equitũ fabula, ἐπὶ γὰρ τοῖς δεδεμένοις χαλκεύεται. Οὐδ' οἱ Μεγαρῆς] Quia fœdifragi erant, tamen nihilominus Pacem cupiebant, quia multa paſſi erant & bello & fame. Scholiaſtes notat hæc non à Mercurio, ſed à Trygæo quoſdam exiſti-

G mare pronunciari. Id ego quoque exiſtimo, ſed vt ſequentia illa, ἕλκουσι δ' ὅμως &c. putem à Mercurio dici. Exſpecto quid cenſeant potiori doctrina & iudicio præditi.

Σχόλια. Σαρκάζοντες.] οἱ ὑποσεσηρότες καὶ διανοίγοντες, ὥσπερ τὰ κυνίδια, ὅταν προσλιπαρῇ τινα καὶ

ἀφέλκῃ